167.

Koch § 43. Einübung des Imperat., Infinit. u. Part. Präs. Pass. u. Medii von *ποιέω*.

1. *Πυθαγόρας λέγει, ὅτι δεῖ βίον αἱρεῖσθαι τὸν ἄριστον· ἡδὺν γὰρ αὐτὸν ἡ συνήθεια ποιήσει.* 2. *Εὐλαβοῦ τὰς διαβολάς, κἂν ψευδεῖς ὦσιν· οἱ γὰρ πολλοὶ τὴν μὲν ἀλήθειαν ἀγνοοῦσι, πρὸς δὲ τὴν δόξαν ἀποβλέπουσιν.* 3. *Τῇ μὲν γυναικὶ κάλλιον ἔνδον τε μένειν καὶ τῶν τοῦ οἴκου ἐπιμελεῖσθαι ἢ θυραυλεῖν· τῷ δὲ ἀνδρὶ αἴσχιον ἔνδον μένειν ἢ τῶν ἔξω ἐπιμελεῖσθαι.* 4. *Ὁ χωρισμὸς τῆς ψυχῆς ἀπὸ τοῦ σώματος καλεῖται θάνατος· μηδεὶς δὲ φοβείσθω θάνατον, ἀπόλυσιν κακῶν.* 5. *Δημοσθένης, λοιδορουμένου τινὸς αὐτῷ· οὐ συγκαταβαίνω, ἔφη, εἰς ἀγῶνα, ἐν ᾧ ὁ ἡττώμενος τοῦ νικῶντός ἐστι κρείττων.* 6. *Ἐπαινοῦσι μὲν πάντες τὰ τῶν Σπαρτιατῶν ἐπιτηδεύματα, μιμεῖσθαι δὲ αὐτὰ οὐδεμία πόλις θέλει.*

1. Wähle lieber Strafe als schimpflichen Gewinn. 2. Dem Cyrus schien es angenehmer anderen Schätze zu schenken als von anderen zu empfangen. 3. Diejenigen, welche lieben, werden geliebt, diejenigen, welche hassen, gehasst. 4. Hüte dich lieber vor Tadel als vor Gefahr. 5. Diejenigen, welche die Schlechten nicht züchtigen, wünschen, dass die Guten geschädigt werden. 6. Es ist besser Unrecht zu leiden als Unrecht zu thun (*ἀδικέω*).

168.

Koch § 43. Einübung des Indik. Präs. u. Imperf. Pass. u. Medii von *δουλόω*.

1. *Τυφλοῦται ὁ φιλῶν περὶ τὸν φιλούμενον.* 2. *Περικλῆς δυνατώτατος ὢν τῶν καθ' ἑαυτὸν καὶ ἄγων τὴν πολιτείαν ἠναντιοῦτο πάντα τοῖς Λακεδαιμονίοις καὶ οὐκ εἴα ὑπείκειν τοὺς Ἀθηναίους.* 3. *Εἰς τὸν Πηνειὸν ποταμὸν οἱ λοιποὶ τῆς Θετταλίας ποταμοὶ συῤῥέουσι καὶ ἀνακοινοῦνται τὸ ὕδωρ αὐτῷ καὶ ἐργάζονται τὸν Πηνειὸν ἐκεῖνοι μέγαν.* 4. *Παρὰ Ῥωμαίοις πρότερον ὁ ἐνιαυτὸς συνεπληροῦτο δέκα μησίν.* 5. *Ὁ μὲν Πρωτεὺς τῇ μορφῇ, ὁ δ' ἀπαίδευτος τῇ ψυχῇ παρ' ἕκαστον ἀλλοιοῦται.*

1. Die Früchte der Pflanzen geniessen andere, die Frucht aber, welche die Seele hervorbringt, geniesst sie selbst. 2. Sogar Perikles wurde von den Athenern be-

Universitäts- und
Landesbibliothek Düsseldorf

straft. 3. Der Charakter wird am meisten offenbar *(δηλόω)* durch die Werke.

169.

Koch § 43. Einübung des Konjunkt. u. Optat. Präs. Pass. u. Medii von *δουλόω*.

1. *Πῶς μὲν ἄν τις ἧττον ὑπὸ πόλεως ζημιοῖτο, πῶς δ' ἂν μᾶλλον τιμῷτο, ἢ εἰ τοῖς νόμοις πείθοιτο;* 2. *Μεγάλα ἂν ζημιοῖο, εἴ τινα ἄνθρωπον κατακαίνοις.* 3. *Σωκράτης καλοῖς τε καὶ ἀγαθοῖς συνὼν ἐπεσκόπει, τί ποτ' ἐργαζόμενοι τούτου τοῖ ὀνόματος ἀξιοῖντο.* 4. *Ὅταν ἐπιστήμαις ἢ δόξαις ἢ λόγῳ ἐναντιῶται τοῖς φύσει ἀρχικοῖς ἡ ψυχή, τοῦτο ἄνοιαν προσαγορεύω.* 5. *Τὸ ὑγιέστατον καὶ ἰσχυρότατον καὶ τὰ ἄριστα ἔχοντα ὑπὸ χρόνου τε καὶ τῶν ἄλλων παθημάτων ἥκιστα ἀλλοιοῖτο ἄν.* 6. *Τὸν ἄνδρα, ὑφ' οὗ ἂν αὐτοὶ μὲν σωζοίμεθα, τοὺς δὲ πολεμίους χειροίμεθα, τοῦτον ἂν αἱροίμεθα στρατηγόν.*

1. Die Freundschaft, wenn (partic.) sie unter *(εἰς)* viele geteilt wird, möchte wohl geschwächt werden. 2. Die Seele des Menschen erscheint im Schlafe am göttlichsten und sieht dann etwas von der Zukunft vorher; denn dann möchte sie wohl am meisten frei sein (befreit werden). 3. Wenn ein Pferd einem Pferde zürnt oder beim *(ἐν)* Reiten zornig wird, erweitert es mehr die Nasenlöcher.

170.

Koch § 43. Einübung des Imperat., Infinit. u. Part. Präs. Pass. u. Medii von *δουλόω*.

1. *Ἀριστοτέλης ἱστορεῖ, ἐν Τυῤῥηνίᾳ μαστιγοῦσθαι τοὺς οἰκέτας πρὸς αὐλόν.* 2. *Μὴ φθονεῖτε τοῖς πρωτεύουσιν, ἀλλ' ἁμιλλᾶσθε καὶ πειρᾶσθε ἀρετὴν ἐξισοῦσθαι αὐτοῖς.* 3. *Σαλμωνεὺς τῷ Διὶ ἐξισοῦσθαι θέλων ἀντιβροντᾶν ἐτόλμα.* 4. *Ἔρχονται ὡς τὸν Ξενοφῶντα ἐκ Σινώπης πρέσβεις φοβούμενοι περὶ Κοτυώρων τῆς πόλεως — ἦν γὰρ ἐκείνων καὶ φόρον ἐκείνοις ἔφερε — καὶ περὶ τῆς τῶν Κοτυωριτῶν χώρας, ὅτι ἥκουον δηουμένην.* 5. *Κόλαζε κρίνων, ἀλλὰ μὴ θυμούμενος.* 6. *Πᾶν τὸ ἐναντιούμενον οὐ φιλοῦμεν.*

Universitäts- und
Landesbibliothek Düsseldorf

1. Diejenigen, welche (particip.) den Guten entgegenhandeln, sind wert bestraft zu werden. 2. Die Seher wurden so geehrt, dass sie sogar der Königsherrschaft gewürdigt wurden. 3. Brüste dich nicht mit deiner Weisheit. 4. Es ist (die Sache) der Besonnenheit über die Begierde zu herrschen und sich von keiner Lust knechten zu lassen (geknechtet zu werden).

171.

Repetition des Präs. u. Imperf. Akt., Pass. u. Medii der verba contracta.

1. *Οἱ Ἴωνες στάσιν ἐποιοῦντο ὡς ἀποσείοντες τὴν τῶν Περσῶν βασίλειαν καὶ ὁθονοοῦντες ἀλλήλοις καὶ τῶν Ἀθηναίων βοηθούντων κατωρθοῦντο τὴν αὐτονοθίαν· οὐ πολλῷ δὲ ὕστερον διχοστατοῦντας ἀλλήλοις καὶ ἀθυθοῦντας Δαρεῖος ὁ Πέρσης αὐτοὺς ἐχειροῦτο. 2. Ταύτην θὲν τὴν ἡθέραν οὕτως ἐπορεύθησαν οἱ Ἕλληνες, τὰ θέν τι θαχόθενοι, τὰ δὲ καὶ ἀναπαυόθενοι. Εἰς δὲ τὴν ὑστεραίαν γίγνεται χειμὼν πολύς, ἀναγκαῖον δὲ ἦν πορεύεσθαι· οὐ γὰρ ἦν ἱκανὰ τὰ ἐπιτήδεια. Καὶ ἡγεῖτο μὲν Χειρίσοφος, ὠπισθοφυλάκει δὲ Ξενοφῶν. Καὶ οἱ πολέμιοι κατὰ κράτος ἐδίωκον, καὶ στενῶν ὄντων τῶν χωρίων ἐγγὺς προσερχόθενοι ἐτόξευον καὶ ἐσφενδόνων· ὥστε ἠναγκάζοντο οἱ Ἕλληνες ἐπιδιώκοντες καὶ πάλιν ἀναχάζοντες σχολῇ πορεύεσθαι.*

1. Jede Kolonie, wenn (partic.) sie Gutes erfährt, ehrt die Mutterstadt, wenn sie aber geschädigt wird, so wird sie entfremdet. 2. Durch eine brauchbare Staatsverfassung kommen die Städte in die Höhe (werden aufgerichtet). 3. Die Mysier und Pisidier und Lykaonen zogen Nutzen *(καρπόομαι)* aus dem Lande der Nachbarn.

172.

Fortsetzung.

1. *Ἐπιθυθίᾳ μὲν οἱ ἄνθρωποι ἐλάχιστα κατορθοῦνται, προνοίᾳ δὲ πλεῖστα. 2. Ἀνὴρ δίκαιός ἐστιν οὐχ ὁ μὴ ἀδικῶν, ἀλλ' ὅστις ἀδικεῖν θὴ βούλεται. 3. Φίλος φίλῳ συθπονῶν αὐτῷ πονεῖ. 4. Μὴ κακοῖς ὁμίλει· θυθοῦ κράτει· ἔριν θίσει· ἀλήθειαν φίλει· μηδενὶ φθόνει. 5. Ὀρφεὺς ᾖσκει τὴν κιθαρῳδίαν καὶ ᾄδων ἐκίνει λίθους τε καὶ δένδρα.*

Universitäts- und
Landesbibliothek Düsseldorf

6. Ἄσκει τῶν περὶ τὸ σῶμα γυμνασίων μὴ τὰ πρὸς τὴν ῥώμην, ἀλλὰ τὰ πρὸς τὴν ὑγίειαν συμφέροντα. 7. Ἡγοῦ μάλιστα σαυτῷ πρέπειν κόσμον, αἰσχύνην, δικαιοσύνην, σωφροσύνην. 8. Μάλιστα ἂν εὐδοκιμοίης, εἰ φαίνοιο τοιαῦτα μὴ πράττων, ἃ τοῖς ἄλλοις, ἢν πράττωσιν, ἐπιτιμᾷς.

1. Übe Gerechtigkeit durch That und Wort. 2. Der Rat des Areopag ermahnte die einen, den anderen drohte er, die anderen züchtigte er. 3. Anfänglich wohnten die Menschen vereinzelt, Städte aber gab es nicht. 4. Die Bürger fürchteten, dass die Stadt belagert werde. 5. Die Götter fürchte, die Eltern ehre.

173.

Fortsetzung.

1. Ὁμοίως αἰσχρὸν νόμιζε ὑπὸ τῶν ἐχθρῶν νικᾶσθαι ταῖς κακοποιΐαις καὶ τῶν φίλων ἡττᾶσθαι ταῖς εὐεργεσίαις. 2. Πιστοὺς ἡγοῦ μὴ τοὺς πᾶν, ὅτι ἂν λέγῃς ἢ ποιῇς, ἐπαινοῦντας, ἀλλὰ τοὺς τοῖς ἁμαρτανομένοις ἐπιτιμῶντας. 3. Πάντα τὰ τῶν νικωμένων χρήματα τῶν νικώντων γίγνεται. 4. Ἀπιστοῦνται οἱ λάλοι, κἂν ἀληθεύωσιν. 5. Αἰδεῖσθε τοὺς γέροντας. 6. Ἀχαΐα ἐκαλεῖτο τὸ παλαιὸν Αἰγιάλεια. 7. Πολλοὺς κακῶς πράττοντας ὀρθοῖ τύχη. 8. Ὅστις ὑπὸ τῶν τοῦ σώματος ἡδονῶν ἄρχεται, τοῦτον ἐλεύθερον οὐχ ἡγούμεθα.

1. Hasse diejenigen, welche schmeicheln, gleichwie diejenigen, welche täuschen. 2. Die Gesetze des Lykurg ehren die Könige der Lacedämonier nicht wie Menschen, sondern wie Halbgötter. 3. Glaubt, dass die Götter alles sehen, was immer ihr thut. 4. Von der Zunge des Nestor floss die Rede wie Honig.

174.

Koch § 48. Die Tempusbildung der verba vocalia. 1—3 nebst Anmerk. 1, 2 u. 4.

1. Τὴν Ἀχιλλέως ἀσπίδα Ὅμηρος ἐποίησε φέρουσαν ὅλον τὸν οὐρανὸν καὶ γεωργοῦντας καὶ πολεμοῦντας. 2. Ἄδραστος συναθροίσας στράτευμα σὺν ἡγεμόσιν ἑπτὰ ἐπολέμησε Θήβαις. 3. Πάντων τῶν ἀναγκαίων κακῶν ἰατρὸς ὁ χρόνος ἐστίν· οὗτός σε καὶ νῦν ἰάσεται. 4. Φίλους μὴ ταχέως

Universitäts- und
Landesbibliothek Düsseldorf

κτῶ· οὓς δ' ἂν κτήσῃ, μὴ ἀποδοκίμαζε. 5. Οὐδεὶς ἔπαινον ἡδοναῖς ἐκτήσατο. 6. Οἱ Ἀθηναῖοι πολλῇ στρατιᾷ ὥρμηνται ἐπὶ τοὺς Πέρσας. 7. Σιμωνίδης ἔλεγεν, ὅτι λαλήσας μὲν πολλάκις μετενόησε, σιωπήσας δὲ οὐδέποτε. 8. Οἱ δοῦλοι ἠλευθερωμένοι ἐστεφανώσαντο.

1. Dionysius raubte die Schätze aus allen Tempeln in Syrakus. 2. Der Maler Nicias war so arbeitsam, dass er oft die Sklaven fragte, ob er gefrühstückt habe. 3. Die Athener haben zuerst von allen den Herakles wie einen Gott geehrt. 4. Alexander bekränzte das Grab des Achilles.

175.

Fortsetzung.

1. Δόγμα ἐστὶ Πυθαγόρου μεταβαίνειν τὰς ψυχὰς τῶν τελευτησάντων εἰς ἕτερα σωμάτων εἴδη. 2. Ἀριστοτέλης βεβίωκε ἰρία ἔτη πρὸς τοῖς ἑξήκοντα. 3. Σόλων ἐρωτηθείς, ἥτις οἰκεῖται κάλλιστα τῶν πόλεων· Ἐκείνη, ἔφη, ἐν ᾗ τῶν ἀδικουμένων οὐχ ἧττον οἱ μὴ ἀδικούμενοι προβάλλονται καὶ κολάζουσι τοὺς ἀδικοῦντας. 4. Οὐδ' ἐπειδὰν ἡμεῖς τελευτήσωμεν, οἱ λόγοι οἱ περὶ ἡμῶν σιγήσονται. 5. Πολλάκις τὸν Ἀλέξανδρον ἡ Θηβαίων συμφορὰ ἀνιᾶσαι λέγεται καὶ πρᾴοτερον οὐκ ὀλίγοις ποιῆσαι. 6. Τοὺς Δελφοὺς ἐκάλεσαν τῆς γῆς ὄμφαλον. 7. Κρητὴν ὄντα σε ὁμοίως ἀμφοῖν ἀκροᾶσθαι δεῖ. 8. Πλάτων τὴν φιλοσοφίαν θανάτου μελέτην ἐκάλεσεν.

1. Mardonius überredete den Xerxes sich die Hellenen zu unterwerfen, weil (partic.) sie sich immer feindlich gegen die Perser verhielten. 2. Schmähe nicht die Gestorbenen, sondern preise sie glücklich. 3. Worüber du übereingekommen bist, das halte aufrecht. 4. Den Lacedämoniern genügte es nicht die Herrschaft zu Lande zu haben, sondern sie begehrten auch die Macht zur See zu erwerben.

176.

Fortsetzung.

1. Ἀντισθένης πρὸς τὸν ἐπαινοῦντα τρυφήν· Ἐχθρῶν παῖδες, ἔφη, τρυφήσειαν. 2. Ἅτινα γιγνώσκω, παρῄνεκα ἀεὶ τοῖς φίλοις. 3. Εὖ τελέσειας ὁδόν, Πυλάδη, μεγάλου διὰ πόντου. 4. Οὐδεὶς ὅστις οὐκ ἂν τὸν ὀρθῶς μεταχειρι-

Universitäts- und
Landesbibliothek Düsseldorf

ζόμενον τὰς πράξεις ἐπαινέσειεν. 5. *Μηδένα φίλον ποιοῦ, πρὶν ἂν ἐξετάσῃς, πῶς κέχρηται τοῖς πρότερον φίλοις.* 6. *Οἱ στρατιῶται οἵ τε αὐτοῦ ἐκείνου καὶ οἱ ἄλλοι ταῦτα ἀκούσαντες, ὅτι οὐ λέγοι παρὰ βασιλέα πορεύεσθαι, τὸν Κλέαρχον ἐπήγεσαν.* 7. *Ἦν τούτων τῶν σταθμῶν οὓς Κῦρος πάνυ μακροὺς ἤλαυνεν, ὁπότε ἢ πρὸς ὕδωρ βούλοιτο διατελέσαι (τὴν ὁδὸν) ἢ πρὸς χιλόν.* 8. *Κῦρος Κλέαρχον εἰς τὴν σκηνὴν παρεκάλεσε σύμβουλον, ὅς γε καὶ αὐτῷ καὶ τοῖς ἄλλοις ἐδόκει προτιμηθῆναι μάλιστα τῶν Ἑλλήνων.*

1. Den Thebaner Pentheus zerrissen die Mänaden, den Orpheus die Thracierinnen. 2. Cyrus liess dem Heere sagen: Ich zwar, o Männer, lobe euch bereits; dass aber auch ihr mich lobt, wird mir am Herzen liegen, oder haltet mich nicht mehr für Cyrus. 3. Klearch wurde fast von den Soldaten des Menon gesteinigt. 4. Klearch wollte den rechten Flügel nicht von dem Flusse wegziehen, weil er fürchtete von beiden Seiten umzingelt zu werden.

177.

Fortsetzung.

1. *Ἀριαῖος οὔτε τοὺς θεοὺς φοβούμενος οὔτε Κῦρον τετελευτηκότα αἰδεσθείς, τιμώμενος μάλιστα ὑπὸ Κύρου ζώντος, νῦν ἡμᾶς τοὺς Κύρου φίλους κακῶς ποιεῖν πειρᾶται.* 2. *Ἐπεὶ ἦσαν ἐπὶ ταῖς θύραις Τισσαφέρνους, οἱ μὲν στρατηγοὶ παρεκλήθησαν εἴσω, οἱ δὲ λοχαγοὶ ἐπὶ θύραις ἔμενον.* 3. *Εὐθὺς ὁ Ξενοφῶν αὐτός τε ἔσπενδε καὶ τοῖς νεανίσκοις ἐγχεῖν ἐκέλευσε καὶ εὔχεσθαι τοῖς θεοῖς τά τε ὀνείρατα καὶ τὸν πόρον καὶ τὰ λοιπὰ ἀγαθὰ ἐπιτελέσαι.* 4. *Οἱ πολέμιοι, φοβούμενοι, μὴ ἀποκλεισθείησαν, φεύγουσιν ἀνὰ κράτος ὡς πρὸς τὴν ἀπὸ τοῦ ποταμοῦ ἔκβασιν ἄνω.* 5. *Ἰσοκράτης κελεύει τῶν γονέων τοὺς διδασκάλους προτιμᾶν· τοὺς μὲν γὰρ τοῦ ζῆν, τοὺς δὲ τοῦ εὖ ζῆν εἶναι αἰτίους.* 6. *Τὸ ἐγκαλέσαι καὶ ἐπιτιμῆσαι ῥᾴδιον.*

1. Cyrus fürchtete sich vor einem Bären, der (part.) einst (auf ihn) losstürzte, nicht, wurde aber vom Pferde herabgerissen. 2. Gaza wurde von Alexander zerstört. 3. Als Phalinus dieses gehört hatte, lachte er. 4. Porus, von Alexander nach der Schlacht gefragt: Wie soll (fut.) ich dich behandeln (*χράομαι*)? antwortete (sagte): Königlich.

Universitäts- und
Landesbibliothek Düsseldorf

Zusammenhängende Stücke zur Repetition.

Alexander der Grosse.

Nach Arrian.

Fortsetzung von 149.

178.

Μετὰ τὴν μάχην ὁ Ἀλέξανδρος τοὺς νεκροὺς θάψας μεγαλοπρεπῶς σὺν τῇ δυνάμει πάσῃ ἐκτεταγμένῃ λαμπρότατα ὡς ἐς πόλεμον οὐδὲ τῆς μητρὸς τοῦ Δαρείου οὐδὲ τῆς γυναικὸς ἢ τῶν παίδων ἀμελεῖ, ἀλλὰ λέγουσί τινες τῶν τὰ Ἀλεξάνδρου γραψάντων, τῆς νυκτὸς αὐτῆς, ᾗ ἀπὸ τῆς διώξεως τῆς Δαρείου ἐπανῆκεν ἐς τὴν σκηνήν, ἀκοῦσαι αὐτὸν γυναικῶν οἰμωγὴν καὶ ἄλλον τοιοῦτον θόρυβον οὐ πόρρω τῆς σκηνῆς· ἐρωτῆσαι οὖν, αἵτινες γυναῖκές εἰσι καὶ δι' ὅτι οὕτως ἐγγὺς παρασκηνοῦσι· καί τινα λέξαι, ὅτι, ὦ βασιλεῦ, ἡ μήτηρ τε καὶ ἡ γυνὴ Δαρείου καὶ οἱ παῖδες, ἐπεὶ ἤκουσαν, ὅτι τὸ τόξον τε τοῦ Δαρείου ἔχεις καὶ τὸν κάνδυν τὸν βασιλικόν, καὶ ἡ ἀσπὶς ὅτι κεκόμισται ὀπίσω ἡ Δαρείου, ὡς ἐπὶ τῷ Δαρείου θανάτῳ ἀνοιμώζουσι.

179.

Fortsetzung.

Ταῦτα ἀκούσαντα Ἀλέξανδρον πέμψαι πρὸς αὐτὰς Λεόννατον, ἕνα τῶν ἑταίρων, κελεύσαντα φράσαι, ὅτι ζῇ Δαρεῖος. Καὶ Λεόννατον ἥκειν ἐς τὴν σκηνήν, ἐν ᾗ ἐνῆσαν αἱ γυναῖκες, καὶ λέξαι τὰ περὶ Δαρείου, καὶ ὅτι τὴν θεράπειαν αὐταῖς συγχωρεῖ Ἀλέξανδρος τὴν βασιλικὴν καὶ τὸν ἄλλον κόσμον καὶ καλεῖσθαι βασιλίσσας. Καὶ ὁ μὲν Δαρεῖος τὴν μὲν νύκτα σὺν ὀλίγοις τοῖς ἀμφ' αὐτὸν ἔφευγε, τῇ δὲ ἡμέρᾳ ἀναλαμβάνων ἀεὶ τῶν Περσῶν τοὺς διασωθέντας ἐκ τῆς μάχης ἐπὶ Θάψακον τὴν πόλιν καὶ τὸν Εὐφράτην ποταμὸν σπουδῇ ἤλαυνεν, ὡς τάχιστα μέσον αὐτοῦ τε καὶ Ἀλεξάνδρου τὸν Εὐφράτην ποιῆσαι, ὁ δὲ Ἀλέξανδρος σὺν τῇ στρατιᾷ παρὰ τὴν θάλασσαν ἐπορεύετο ἐπὶ Φοινίκην.

180.

Fortsetzung.

Ἧκον δὲ ἐν τῇ πορείᾳ πρὸς Ἀλέξανδρον πρέσβεις παρὰ Δαρείου ἐπιστολὴν κομίζοντες καὶ αὐτοὶ αἰτήσοντες

Universitäts- und
Landesbibliothek Düsseldorf

τὴν μητέρα καὶ τὴν γυναῖκα καὶ τοὺς παῖδας πρὸς Δαρεῖον ἀποπέμψαι. Ὁ δὲ Ἀλέξανδρος τότε ὢν ἐν Μαράθῳ οὐκ ἀπέπεμψε. Ἐκ Μαράθου δὲ ὁρμηθεὶς Βύβλον ὁμολογίᾳ λαμβάνει καὶ Σιδῶνα, αὐτῶν τῶν Σιδωνίων ἐπικαλεσαμένων κατὰ τὸ ἔχθος τὸ Περσῶν καὶ Δαρείου. Ἐντεῦθεν δὲ προὐχώρει ὡς ἐπὶ Τύρον· καὶ ἐντυγχάνουσιν αὐτῷ κατὰ τὴν ὁδὸν πρέσβεις Τυρίων λέγοντες τοὺς Τυρίους πράξειν, ὅτι ἂν ἐπαγγέλλῃ Ἀλέξανδρος. Ὁ δὲ τήν τε πόλιν ἐπαινέσας καὶ τοὺς πρέσβεις ἐκέλευσεν ἐπανήκοντας φράσαι τοῖς Τυρίοις, ὅτι ἐθέλει θῦσαι ἐν τῇ πόλει τῷ Ἡρακλεῖ.

181.

Fortsetzung.

Ἦν γὰρ ἐν Τύρῳ ἱερὸν Ἡρακλέους παλαιότατον. Οἱ δὲ Τύριοι μήτε τῶν Περσῶν μήτε τῶν Μακεδόνων μηδένα εἰς τὴν πόλιν δέχεσθαι ἐβουλεύσαντο. Τοῦτο δὲ ἀκούσας ὁ Ἀλέξανδρος χαλεπῶς ἔφερε καὶ ἐδόκει αὐτῷ ἐπιχειρεῖν τῇ Τύρῳ, ἀνέπειθε δὲ αὐτὸν καὶ θεῖόν τι, ὅτι ἐνύπνιον αὐτῆς ἐκείνης τῆς νυκτὸς ἐδόκει αὐτὸς μὲν τῷ τείχει προσάγειν τῶν Τυρίων, τὸν δὲ Ἡρακλέα δεξιοῦσθαί τε αὐτὸν καὶ ἀνάγειν ἐς τὴν πόλιν. Ἐφαίνετο δὲ μέγα ἔργον εἶναι ἡ τῆς Τύρου πολιορκία, ἄλλως τε καὶ τῶν Περσῶν ἔτι θαλασσοκρατούντων καὶ αὐτοῖς τοῖς Τυρίοις νεῶν ἔτι πολλῶν περιουσῶν. Νῆσος γὰρ τοῖς Τυρίοις ἡ πόλις ἦν καὶ τείχεσιν ὑψηλοῖς πάντη ὠχύρωτο.

182.

Fortsetzung.

Ὁ δὲ πορθμὸς ὁ μεταξὺ τῆς ἠπείρου καὶ τῆς νήσου τεττάρων ἦν σταδίων καὶ πρὸς τῇ πόλει τριῶν ὀργυιῶν τὸ βάθος. Ταῦτα οὖν ὁρῶν, ἀφθονίας οὔσης λίθων καὶ ὕλης, Ἀλέξανδρος χῶμα χοῦν ἐκ τῆς ἠπείρου ὡς ἐπὶ τὴν πόλιν ἐκέλευσεν. Καὶ ἕως μὲν τὸ πρὸς τῇ ἠπείρῳ χῶμα ἐχοῦτο, οὐ χαλεπῶς προὐχώρει τὸ ἔργον, οὐδενὸς ἐξείργοντος καὶ τοῦ βάθους ὀλίγου ὄντος. Ἐπεὶ δὲ τῷ τε βαθυτέρῳ ἤδη ἐπέλαζον καὶ ἅμα τῇ πόλει αὐτῇ ἐγγὺς ἐγίγνοντο, ἀπό τε τῶν τειχῶν ὑψηλῶν ὄντων βαλλόμενοι ἐκακοπάθουν. Ἐπέπλεον δὲ οἱ Τύριοι ἔτι θαλαττοκρατοῦντες καὶ ταῖς

Universitäts- und
Landesbibliothek Düsseldorf

τριήρεσιν ἄλλη καὶ ἄλλη τοῦ χώματος καὶ ἐκώλυον τὴν πρόσχωσιν. Οὕτω πιεζόμενοι οἱ Μακεδόνες πύργους δύο ἐπάνω τοῦ χώματος ᾠκοδόμησαν, ἀφ᾽ ὧν βάλλοντες καὶ τοξεύοντες οὐ χαλεπῶς ἀνέστελλον τοὺς ἐπιπλέοντας.

183.

Fortsetzung.

Οἱ δὲ Τύριοι πρὸς ταῦτα ἀντιμηχανῶνται τοιόνδε. Ναῦν ἱππαγωγὸν κλημάτων τε ξερῶν καὶ ἄλλης ὕλης εὐφλέκτου πληρώσαντες πίσσαν τε καὶ θεῖον καὶ ἄλλα τοιαῦτα ἐπεφόρησαν, καὶ ἄνεμον τηρήσαντες ὡς ἐπὶ τὸ χῶμα ἐπιφέροντα ἐξάψαντες τριήρεσι τὴν ναῦν κατ᾽ οὐρὰν εἷλκον. Ὡς δὲ ἐπέλαζον ἤδη τῷ χώματι καὶ τοῖς πύργοις πῦρ ἐμβάλλουσιν εἰς τὴν ὕλην καὶ ἐνσείουσι τὴν ναῦν ἄκρῳ τῷ χώματι· αὐτοὶ δὲ οἱ ἐν τῇ νηὶ καιομένῃ ἤδη ἐξενήξαντο οὐ χαλεπῶς. Ἡ δὲ φλὸξ κατέφλεξε τούς τε πύργους καὶ τὰς μηχανάς.

Verba liquida.

184.

Koch § 44, 6c. § 51, 1 nebst Anmerk. 1—2 u. 2. Einübung des Fut. Akt. u. Medii der verba liquida.

1. Εὐτυχεῖς σὺν θεῷ φανούμεθα. 2. Ἡ συνήθεια καὶ τὰ δυσχερῆ τῶν πραγμάτων καταπραΰνει. 3. Ὀργῆς ἀπεχόμενος κερδανεῖς, μὴ ἀπεχόμενος δὲ μωρανεῖς. 4. Ἐὰν μὴ φυλάξῃς τὰ μικρά, ἀποβαλεῖς τὰ μείζονα. 5. Παιδάρητος ὁ Λακεδαιμονίων στρατηγός, λέγοντός τινος, ὅτι πολλοί εἰσιν οἱ πολέμιοι, ἔλεξεν· οὐκοῦν ἡμεῖς εὐκλεέστεροι ἐσόμεθα, πλείους γὰρ ἀποκτενοῦμεν. 6. Αἰσχρὰ λέγοντες καὶ δρῶντες αἰσχυνούμεθα. 7. Ἡ ἡμετέρα πόλις τοὺς πολεμίους ἀμυνεῖται ἀξίως. 8. Εἰ οὕτως ἀφρόνως πράξετε, τοὺς χρηστοὺς εἰς τὴν ἐσχάτην ἀθυμίαν ἐμβαλεῖτε. 9. Εἰ μὲν φράσω τὸ ἀληθές, οὐκ εὐφρανῶ σε. 10. Εἰ τὸν ἱκέτην ἀποκτενεῖς, τὸν νεὼν καὶ τοὺς βωμοὺς μολυνεῖς.

1. Der Verständige wird sich nicht schämen von (παρά) einem anderen das Nützliche genau zu erlernen. 2. Die Bürger werden die Feinde abwehren. 3. Die Zeit wird alles richten. 4. Alles, was du siehst, wird die

Universitäts- und
Landesbibliothek Düsseldorf

Natur verändern. 5. Das Volk wird auf dem Markte versammelt.

185.

Koch § 51, 3. Einübung des Aor. Akt. u. Medii der verba liquida.

1. *Ἡρακλῆς τῶν πελωρίων καὶ τῶν κακούργων ἐκάθηρε γῆν καὶ θάλασσαν.* 2. *Οἱ Ἀθηναῖοι ἐπηγγείλαντο τοῖς Θηβαίοις κοινῇ μετ' αὐτῶν ἐπὶ τοὺς Λακεδαιμονίους στρατεύεσθαι.* 3. *Πυθαγόρας καὶ τῶν παλαιῶν φυσικῶν τινες ἀπεφήναντο τὴν ἀνθρωπίνην ψυχὴν εἶναι ἀθάνατον.* 4. *Ἐπεὶ Τισσαφέρνης διέβαλλε τὸν Κῦρον πρὸς τὸν ἀδελφόν, ὡς ἐπιβουλεύοι αὐτῷ, Ἀρταξέρξης πεισθεὶς συλλαμβάνει Κῦρον ὡς ἀποκτενῶν.* 5. *Οὔτε πῦρ ἱματίῳ περιστεῖλαι δυνατόν, οὔτε αἰσχρὸν ἁμάρτημα χρόνῳ.* 6. *Μικροὶ λόγοι πολλὰ ἔσφηλαν ἀνθρώπους.*

1. In Celänä soll Apollo den Marsyas geschunden haben. 2. Es ist schwer den Schmeichler und den Freund zu unterscheiden. 3. Eteokles und Polynices, um die Königsherrschaft streitend, töteten einander im Einzelkampfe. 4. Der persische Krieg stürzte Griechenland ins Verderben.

186.

Koch § 51, 4. Einübung des Perfekts und Plusq. Akt. und Medii, sowie des Aor. und Fut. Pass. der verba liquida.

1. *Τῶν ἀγγέλων ἐπηγγελκότων τοὺς ἡμετέρους νικᾶν, τοῖς θεοῖς χάριν ἀπενείμαμεν τῆς νίκης.* 2. *Πρῶτος μὲν τῶν στρατηγῶν κεκρίσθω Ἀλέξανδρος, μετ' αὐτὸν δὲ Σκηπίων, τρίτος δὲ Ἀννίβας.* 3. *Κάδμος ὁ τοῦ Ἀγήνορος ἀπεσταλμένος ὑπὸ τοῦ πατρὸς ἐπὶ ζήτησιν Εὐρώπης τῆς ἀδελφῆς Θήβας κτίσαι λέγεται.* 4. *Ὁ τὴν ψυχὴν κεκαθαρμένος μᾶλλόν ἐστι κεκοσμημένος ἢ ὁ καλὰς ἐσθῆτας ἐνδυόμενος.* 5. *Ἡ Εὔβοια νῆσος πολὺ ἐκτέταται.* 6. *Τιτυὸς ἀεὶ ἐν Ἅιδου κολάζεται· γῦπες γὰρ τὸ ἧπαρ αὐτοῦ ἐν πέτρᾳ ἐκταθέντος ἀεὶ κείρουσιν.*

1. Artaxerxes, nachdem er seinen Bruder Cyrus besiegt hatte, hatte den Pharnabazus abgesendet, um alle Städte am Meere zu unterwerfen. 2. Bei *(ἐν)* Salamis hatten die Hellenen die Schiffe der Perser vernichtet.

Universitäts- und
Landesbibliothek Düsseldorf

3. Nachdem ihr die Bogen gespannt habt (part. perf.), schiesst die Feinde nieder. 4. Dädalus, in dem Areopag gerichtet und verurteilt, flieht zu Minos.

187.

Gemischte Beispiele über die verba liquida.

1. *Ἡ Ἀττικὴ χώρα τῆς Ἀθηνᾶς ἐκρίθη, ὅτι πρῶτον τὴν ἐλαίαν ἐν αὐτῇ ἐφύτευσεν.* 2. *Τὸν κορδύλον Ἀριστοτέλης φησὶν ἀμφίβιον εἶναι καὶ ἀποθνήσκειν ὑπὸ τοῦ ἡλίου αὐανθέντα.* 3. *Διογένης τὸ μὲν πᾶν ἔφη εἶναι ἄπειρον, τὸν δὲ κόσμον πεπεράνθαι.* 4. *Ἀναξιμένης φησί, νέφη γίγνεσθαι παχυνθέντος τοῦ ἀέρος.*

1. Die Scepter der alten Könige waren mit goldenen Nägeln beschlagen. 2. Der Philosoph Anaxagoras soll wegen Gottlosigkeit angeklagt *(κρίνω)* worden sein, weil er sagte, die Sonne sei eine ganz glühende Eisenmasse.

188.

Fortsetzung.

1. *Ὁ πλοῦτος Τίμωνι τῷ Ἀθηναίῳ μυρίων κακῶν αἴτιος ἦν, μῖσος ἐγείρας καὶ ἡδυπαθείᾳ διαφθείρας καὶ ἐπίφθονον ἀποφήνας.* 2. *Ἐν Λάνῃ, πόλει μεγάλῃ καὶ εὐδαίμονι τῆς Καππαδοκίας, ἔμεινε Κῦρος ἡμέρας τρεῖς· ἐν ᾧ ἀπέκτεινεν ἄνδρα Πέρσην, Μεγαφέρνην, φοινικιστὴν βασίλειον, ὃς αὐτῷ ἐπεβούλευεν.* 3. *Θησεὺς ἀπέκτεινε λῃστὴν Πολυπήμονα ὄνομα, Προκρούστην δὲ ἐπίκλησιν.*

1. Die Römer sendeten viele Kolonien aus. 2. Die Athener hatten viele Schiffe nach Sicilien gesendet. 3. Sokrates wurde der Gottlosigkeit angeklagt. 4. Die Räuber wurden von den Soldaten getötet. 5. Der Reichtum hat viele Menschen zu Grunde gerichtet.

189.

Fortsetzung.

1. *Ἐν τῇ Σπάρτῃ στήλη παιρόθεν ἐστὶ τὰ ὀνόματα ἔχουσα τούτων, οἳ πρὸς Μήδους τὸν ἐν Θερμοπύλαις ἀγῶνα ὑπέμειναν.* 2. *Ἡ Κρήτη τέταται ἀπὸ ἡλίου δυσμῶν πρὸς ἡλίου ἀνατολάς.* 3. *Μετὰ τὴν ἐν Σαλαμῖνι ναυμαχίαν*

Universitäts- und
Landesbibliothek Düsseldorf

Ἀργεῖοι μετὰ Κλεωναίων καὶ Τεγεατῶν ἄρδην Μυκήνας κατέσκαψαν καὶ τὴν χώραν διενείμαντο. 4. *Ἡρακλῆς θεῶν δώδεκα βωμοὺς ἐδείματο.* 5. *Παρμενίδης πρῶτος τὴν γῆν ἀπέφηνε σφαιροειδῆ.*

1. Beschliesse unerschrocken zu sein, aber nicht verwegen. 2. Die Schönheit des Ruhmes wird, wie von einer Krankheit, von dem Neide schnell zerstört. 3. Wir haben die Feinde besiegt und die Stadt gerettet. 4. Wir behaupten, dass die Hellenen mehr Kolonien ausgesendet haben als alle übrigen Völker der Erde.

190.

Fortsetzung.

1. *Ποσειδῶν μηνίων τῷ Ἰνάχῳ τὰς ἐν Ἄργει πηγὰς ἐξήρανεν.* 2. *Δυστυχὴς ὦν κρύπτε, ἵνα μὴ τοὺς ἐχθροὺς εὐφράνῃς.* 3. *Οἱ Ἀθηναῖοι λέγουσι, Τριπτόλεμον πρῶτον σπεῖραι καρπόν.* 4. *Ὁ Νεῖλος νήσους κατεσπαρμένας ἔχει παμπόλλας.* 5. *Οἱ ἀνόητοι τὰ παρόντα χρηστὰ παρορῶσιν ὑπὸ τοῦ συντετάσθαι πρὸς τὸ μέλλον ἀεὶ ταῖς φροντίσιν.* 6. *Ἡ Χίμαιρα τὴν τῶν Λυκίων χώραν διέφθειρε καὶ τὰ βοσκήματα ἐλυμήνατο.*

1. Sardanapal, der letzte (*ἔσχατος*) König der Assyrier, übertraf alle die vor ihm an Schwelgerei. 2. O Bürger, wehrt die Feinde ab, damit sie nicht unser Land verwüsten. 3. Der König sendete 2000 Reiter aus, damit sie das Futter und, wenn sonst etwas Nützliches war, vernichteten und ihm über das Heer der Feinde Bericht erstatteten. 4. Nicht mit Unrecht sagt man, dass der Krieg der Athener gegen die Peloponnesier Griechenland zu Grunde gerichtet habe.

191.

Übersicht der Präpositionen.

Setz' *ἐκ, πρό, ἀπ', ἀντί* zum zweiten Casus hin,
Zum vierten *εἰς, ἀνά*, zum dritten *ἐν* und *σύν;*
Zwei Casus liebt *διά, κατά, ὑπέρ, μετά,*
Drei *πρός, (ἀμφί), περί, ἐπί, ὑπό, παρά.*

Universitäts- und
Landesbibliothek Düsseldorf

1. Präpositionen mit dem Genetiv.

1. ἐκ, ἐξ (e, ex) aus, seit, von - an, infolge von.
2. πρό (pro) vor, für.
3. ἀπό (ab) von, von - her, von - herab, von - an, seit.
4. ἀντί anstatt, für.
5. διά (per) durch. durch Vermittlung von.
6. κατά auf - herab, gegen.
7. ὑπέρ (super) über (auf die Frage wo?), zu Gunsten, für.
8. μετά (cum) mit, unter.
9. πρός von - her, bei.
10. ἀμφί in Prosa selten gebraucht.
11. περί über (höher als: περὶ πολλοῦ ποιεῖσθαι), über (in Betreff de).
12. ἐπί auf (auf die Frage wo?), zur Zeit (unter der Herrschaft jemandes).
13. ὑπό von (bei Passivis), vor, aus.
14. παρά von (Seiten jemandes, nur von Personen bei den Verbis der Bewegung und des Empfangens).

---

1. Κῦρος βουλεύεται, ὅπως μήποτε ἔτι ἔσται ἐπὶ τῷ ἀδελφῷ, ἀλλὰ βασιλεύσει ἀντ᾽ ἐκείνου. 2. Ξέρξης ὡρμᾶτο ἀπὸ Σάρδεων καὶ ἐπορεύετο ἐπὶ τὸν Ἑλλήσποντον. 3. Ἐσθλῶν ἐστιν ἐν ταῖς μάχαις αἱρεῖσθαι πρὸ ἥττης τε καὶ δουλείας θάνατον. 4. Τούτων οὐδὲν ἂν θέλοιμι κτᾶσθαι μετ᾽ ἀδικίας. 5. Οἱ μετὰ Ἀριαίου φεύγουσι διὰ τοῦ ἑαυτῶν στρατοπέδου εἰς τὸν σταθμόν, ἔνθεν ὥρμηντο. 6. Περὶ πολλοῦ ποιοῦ φίλους ἔχειν πιστούς. 7. Ἧκον πρέσβεις παρὰ Δαρείου πρὸς Ἀλέξανδρον. 8. Ἀκούω τοὺς Λακεδαιμονίους εὐθὺς ἐκ παίδων κλέπτειν μελετᾶν. 9. Ἐκ τούτου ἐθανατώθη Κλέαρχος ὑπὸ τῶν ἐν τῇ Σπάρτῃ τελῶν ὡς ἀπειθῶν. 10. Νύκτωρ ἁμαχεῖ μᾶλλον ἄν τὰ πρὸ ποδῶν ὁρῴη τις ἢ μεθ᾽ ἡμέραν μαχόμενος.

1. Wir trinken aus goldenen Bechern. 2. Cyrus verwundet den Mann durch den Panzer. 3. Alle, welche von dem Felsen herabsprangen, retteten sich. 3. Berühmt sind die Reden des Demosthenes gegen den Philipp. 5. Wir lesen jetzt die Rede des Demosthenes für Ktesiphon über den Kranz.

Universitäts- und
Landesbibliothek Düsseldorf

192.

Fortsetzung.

1. Ἀπὸ τούτων τῶν χρημάτων Κλέαρχος συνέλεξε στράτευμα. 2. Ἐπεὶ ἀπήντησαν αὐτοῖς οἱ τῶν Ἑλλήνων στρατηγοί, πρῶτον Τισσαφέρνης δι᾽ ἑρμηνέως ἔλεγε τοιάδε. 3. Ὁ ἥλιος τοῦ θέρους ὑπὲρ ἡμῶν αὐτῶν καὶ τῶν στεγῶν πορευόμενος σκιὰν παρέχει. 4. Σωκράτης οὐχ ἱκέτευσε τοὺς δικαστὰς μετὰ πολλῶν δακρύων. 5. Πῶς ἂν ἐκ τούτων πάντων τοῦτον τὸν τρόπον ἐξαιροίμεθα, ὃς μόνος μὲν πρὸς θεῶν ἀσεβής, μόνος δὲ πρὸς ἀνθρώπων αἰσχρός ἐστι. 6. Φιλοῦνται οἱ παῖδες ὑπὸ τῶν γονέων. 7. Οἱ βάρβαροι ἐτόξευον μετὰ μαστίγων. 8. Ἀράσπας πολλὰ ἐδάκρυσεν ὑπὸ λύπης.

1. Cyrus wurde von einem Bären vom Pferde herabgerissen. 2. Von diesem Tage an verleumdete Heraklides den Xenophon beim Seuthes. 3. Von dort zieht Cyrus durch Lykaonien fünf Tagemärsche weit. 4 Artaxerxes schickte Herolde in Betreff eines Vertrages. 5. Lasst uns auf den gemeinsamen Altären der Stadt opfern. 6. Die Perser sind jetzt viel weichlicher als zur Zeit des Cyrus.

193.

2. Präpositionen mit dem Dativ.

1. ἐν (in) in, auf (auf die Frage wo?).
2. σύν, ξύν (cum) mit.
3. πρός bei (auf die Frage wo?), zu, ausser.
4. ἀμφί in Prosa selten.
5. περί um (von Körperteilen) z. B. θώρακα ἔχει περὶ τοῖς στέρνοις.
6. ἐπί an, auf, zu, wegen, unter (auf die Frage wo?).
7. ὑπό (sub) unter (auf die Frage wo?).
8. παρά (apud) bei.

---

1. Ἐν σοὶ πάντα ἐστίν. 2. Λακεδαιμόνιοι οὔτ᾽ ἂν Θρᾳξὶν ἐν πέλταις καὶ ἀκοντίοις, οὔτε Σκύθαις ἐν τόξοις ἐθέλοιεν ἂν ἀγωνίζεσθαι. 3. Ἐν τοῖς ἀδίκοις καταλογίζονται τοὺς ἀχαρίστους. 4. Ἀδικοῦντα πειρασόμεθα σὺν τοῖς θεοῖς ἀμύνασθαι. 5. Διδάσκουσιν οἱ Πέρσαι τοὺς παῖδας σωφροσύνην καὶ πείθεσθαι τοῖς ἄρχουσι καὶ ἐγκρατεῖς εἶναι

Universitäts- und
Landesbibliothek Düsseldorf

γαστρὸς καὶ ποτοῦ. Πρὸς δὲ τούτοις μανθάνουσιν οἱ παῖδες τοξεύειν καὶ ἀκοντίζειν. 6. Ἐξελαύνει Κῦρος εἰς Ἰσσούς, τὴν Κιλικίας ἐσχάτην πόλιν, ἐπὶ τῇ θαλάσσῃ οἰκουμένην. 7. Ἀπήγγελλον οἱ πρέσβεις, ἐφ᾽ οἷς (unter welchen Bedingungen) οἱ Λακεδαιμόνιοι ποιοῖντο τὴν εἰρήνην. 8. Καλλίμαχος προέτρεχεν ἀπὸ τοῦ δένδρου, ὑφ᾽ ᾧ ἦν, δύο ἢ τρία βήματα. 9. Παρὰ τοῖς εὖ φρονοῦσι κρεῖττόν ἐστιν ἢ παρὰ τοῖς ἄλλοις ἅπασιν εὐδοκιμεῖν.

1. In der Seeschlacht bei Salamis besiegten die Hellenen die Perser. 2. Cyrus wurde mit seinem Bruder und den anderen Knaben erzogen. 3. Bei dem Hause bietet ein See Überfluss an Wasser. 4. Alcibiades lässt auf den Schiffen seinen Steuermann Antiochus zurück. 5. Über das Glück (τὰ ἀγαθά) der Freunde wollen wir uns nicht weniger freuen als über unser eigenes.

194.

3. Präpositionen mit dem Accusativ.

1. εἰς, ἐς (in) in, auf, zu, gegen (auch vor Zahlwörtern), nach (auf die Frage wohin?), bis zu.
2. ἀνά über - hin, nach (ἀνὰ κράτος).
3. διά (propter) wegen.
4. κατά in, an, in die Gegend von, gegen, zur Zeit, gemäss, hinab, nach (κατὰ κράτος); und distributiv (καθ᾽ ἕνα einzeln).
5. ὑπέρ über - hinaus.
6. μετά (post) nach.
7. πρός (ad) zu, nach, an, gegen (auf die Frage wohin?).
8. ἀμφί (circum) auf beiden Seiten, um - herum.
9. περί (circum) um - herum.
10. ἐπί (adversus, contra) zu, gegen (auf die Frage wohin?).
11. ὑπό (sub) unter, um, gegen (auf die Frage wohin?).
12. παρά (praeter) neben - hin, gegen.

---

1. Δωριεὺς εἰσέπλει ἀρχομένου χειμῶνος ἐκ Ῥόδου εἰς Ἑλλήσποντον. 2. Ἀρίστιππος ὁ Θετταλὸς πιεζόμενος

Universitäts- und
Landesbibliothek Düsseldorf

ὑπὸ τῶν οἴκοι ἀντιστασιωτῶν ἔρχεται πρὸς τὸν Κῦρον καὶ αἰτεῖ αὐτὸν εἰς δισχιλίους ξένους καὶ τριῶν μηνῶν μισθόν. 3. Τισσαφέρνης εἰς τὴν ὑστεραίαν οὐχ ἧκεν. 4. Κῦρος θηρεύων οὐχ ἡγεμόνας ἔχων ἀνθρώπους ἀνὰ τὰ ὄρη ἐπλανᾶτο. 5. Δι' ἡμᾶς σὺν θεοῖς ἔχετε τήνδε τὴν χώραν. 6. Διὰ τὸ φιλομαθὴς εἶναι Κῦρος πολλὰ ἀεὶ τοὺς παρόντας ἀνηρώτα. 7. Τὸ ὕδωρ κατὰ τὰς τάφρους ἐχώρει ἐν τῇ νυκτί.

1. Die Athener, nachdem sie sich gerüstet hatten, zogen nach Kolophon. 2. Ich befahl der Dienerin mir auf den Markt zu folgen. 3. Die Feinde, die von uns nach Kräften verfolgt wurden, eilten in das Lager. 4. Die Athener schickten hundert Schiffe nach dem Peloponnes ab.

195.

Fortsetzung.

1. Κῦρος παίει Ἀρταξέρξην κατὰ τὸ στέρνον καὶ τιτρώσκει διὰ τοῦ θώρακος. 2. Ἀνὰ πᾶσαν γῆν καὶ θάλατταν εἰρήνη ἔσται. 3. Ἐν τῇ μάχῃ οἱ Ἕλληνες ἐνίκων τὸ καθ' ἑαυτούς. 4. Δεῖ κατὰ φύσιν ἕκασιον ἕνα ἓν τὸ αὐτοῦ πράττειν. 5. Κλέαρχος ἐπολέμει τοῖς Θρᾷξὶ τοῖς ὑπὲρ Ἑλλήσποντον οἰκοῦσι. 6. Δεκάτῳ ἔτει μετὰ τὴν ἐν Μαραθῶνι μάχην αὖθις ὁ βάρβαρος τῷ μεγάλῳ στόλῳ ἐπὶ τὴν Ἑλλάδα δουλωσόμενος ἐπεστράτευσε. 7. Αὐτοὶ φέροντες παρέσονται πρὸς σὲ δῶρα. 8. Ὤικουν ἐν οἰκίᾳ πρὸς μεσημβρίαν βλεπούσῃ.

1. Lykurg hat, wie man sagt, zu den Zeiten der Herakliden gelebt. 2. Agesilaus war der grösste unter seinen Zeitgenossen. 3. Die Hellenen besiegten die Perser zu Wasser und zu Lande. 4. Die Obrigkeiten müssen den Staat nach den Gesetzen verwalten.

196.

Fortsetzung.

1. Οἱ Σικελοὶ τὰ μέσα καὶ τὰ πρὸς βορρᾶν τῆς νήσου ἔχουσι. 2. Ἡγοῦμαι τοὺς περὶ τὴν ἀστρολογίαν καὶ τὴν γεωμετρίαν διατρίβοντας ὠφελεῖν τοὺς συνόντας. 3. Ἤδη ἦν περὶ πλήθουσαν ἀγοράν. 4. Ἐν ταῖς ὑπὸ τὸ ὄρος κώμαις οἱ Ἕλληνες ηὐλίζοντο. 5. Οἱ φρόνιμοι πόλεις τε

Universitäts- und
Landesbibliothek Düsseldorf

καὶ ἔθνη ὑφ' ἑαυτοὺς ποιοῦνται. 6. Ὁ νόμος τύραννος ὢν τῶν ἀνθρώπων πολλὰ παρὰ τὴν φύσιν βιάζεται.

1. Gorgias pflegte zu sagen (imperf.), dass er auf alles antworten werde. 2. Klearch war, als er starb, um die fünfzig Jahre. 3. Treibt die Jüngeren zur Tugend an. 4. Es lagen viele Dörfer längs des Flusses.

197.

Den Genetiv regieren
ἄνευ (sine) ohne und
ἕνεκα od. *ἕνεκεν* (causa) wegen, welches meist dem Genetiv nachgestellt wird.

1. *Ἄνευ πολλῶν πόνων εὔκλειαν οὐ λαμβάνομεν.* 2. *Πολλὰς στρατείας ἡ τῶν Ἀθηναίων πόλις τῆς τῶν ἄλλων Ἑλλήνων ἐλευθερίας καὶ σωτηρίας ἕνεκα πεποίηται.* 3. *Τί τοῖς ἀνθρώποις ἄνευ Διὸς τελεῖται;* 4. *Δένδρα θεραπεύομεν τοῦ καρποῦ ἕνεκα.* 5. *Ἄνευ ὁμονοίας οὔτε πόλις καλῶς ἂν πολιτευθείη οὔτε οἶκος καλῶς ἂν διοικηθείη.* 6. *Οἱ τριάκοντα τύραννοι πολλοὺς μὲν ἀπέκτειναν ἐχθρας, πολλοὺς δὲ καὶ χρημάτων ἕνεκεν.*

1. Reichtum ohne Verstand ist kein sicherer Besitz. 2. Des Geldes wegen töten zuweilen Freunde die Freunde und Söhne ihre Väter. 3. Viele bestreben sich Bäume der Früchte wegen zu warten; das ergiebigste Gut aber, welches Freund heisst, pflegen die meisten nachlässig und sorglos. 4. Wer möchte ohne die Götter schöne Werke vollbringen!

198.

Uneigentliche Präpositionen.

a. mit dem Genetiv.

1. *ἄνω* oben auf, oberhalb.
2. *ἐγγύς* in der Nähe von, nahe bei.
3. *εἴσω* in das Innere von, innerhalb.
4. *ἐκτός* ausserhalb.
5. *ἐντός* (intra) innerhalb, binnen.
6. *ἔξω* aus - heraus, ausserhalb.
7. *λάθρα* (clam) heimlich vor, ohne Wissen jemandes.
8. *μεταξύ* zwischen.

Universitäts- und
Landesbibliothek Düsseldorf

9. *μέχρι* bis zu, bis an.
10. *ὄπισθεν* hinter.
11. *πέραν* (trans) jenseits.
12. *πρόσω* od. *πόρρω* weit weg von.
13. *πλήν* (praeter) ausser.
14. *πλησίον* nahe bei.
15. *χωρίς* getrennt von.

b. mit dem Dativ.

16. *ἅμα* zugleich mit.

c. mit dem Accusativ.

17. *ὡς* zu (von Personen bei den Verbis des Schickens und Kommens).

---

1. *Λάθρα τῶν στρατιωτῶν πέμπων Κύρῳ ἄγγελον Κλέαρχος ἔλεγε θαρρεῖν.* 2. *Τὸ Μένωνος στράτευμα ἤδη ἐν Κιλικίᾳ ἦν εἴσω τῶν ὀρῶν.* 3. *Οἱ Κρῆτες βραχύτερα τῶν Περσῶν ἐτόξευον καὶ ἅμα ψιλοὶ ὄντες εἴσω τῶν ὅπλων κατεκέκλειντο.* 4. *Ταύτης ἕνεκα τῆς παρόδου Κῦρος τὰς ναῦς μετεπέμψατο, ὅπως ὁπλίτας ἀποβιβάσειεν εἴσω καὶ ἔξω τῶν πυλῶν βιασομένους τοὺς πολεμίους, εἰ φυλάττοιεν ἐπὶ ταῖς Συρίαις πύλαις.*

1. Die jonischen Städte ausser Milet waren dem Cyrus feindlich. 2. Herrliches wird von solchen vollführt, die (particip) des Lobes wegen etwas dulden und Gefahren bestehen wollen. 3. Der König Cyrus wurde bis zu seinem zwölften Jahre von seiner Mutter Mandäne in Persien erzogen. 4. In Syrien war eine Stadt nicht weit von dem Flusse Euphrat, Hiera genannt, welche der assyrischen Juno heilig war.

199.

Fortsetzung.

1. *Ἄνευ τῶν ἐπιτηδείων οὔτε στρατηγοῦ οὔτε ἰδιώτου ὄφελος οὐδέν.* 2. *Πέραν τοῦ Εὐφράτου ποταμοῦ ἦν πόλις εὐδαίμων καὶ μεγάλη, ὄνομα Χαρμάνδη.* 3. *Παρετέτατο ἡ τάφρος ἄνω διὰ τοῦ πεδίου ἐπὶ δώδεκα παρασάγγας μέχρι τοῦ Μηδίας τείχους.* 4. *Ἦν παρὰ τὸν Εὐφράτην πάροδος στενὴ μεταξὺ τοῦ ποταμοῦ καὶ τῆς τάφρου.* 5. *Ὡπλισμένοι ἦσαν θώραξι καὶ παραμηριδίοις καὶ κράνεσι*

Universitäts- und
Landesbibliothek Düsseldorf

πάντες πλὴν Κύρου. 6. Τοσοῦτον πλήθει περιῆν βασιλεύς, ὥστε μέσον τῶν ἑαυτοῦ ἔχων ἔξω τοῦ Κύρου εὐωνύμου κέρατος ἦν.

1. Menon versammelte sein Heer getrennt von den übrigen Soldaten und redete also. 2. Als (gen. abs.) Cyrus starb, wurden alle seine Freunde und Tischgenossen ausser dem Ariäus kämpfend getötet. 3. Die Hellenen verfolgten die Barbaren bis zu einem Dorfe. 4. Weit weg von den Quellen werden die meisten Flüsse undurchschreitbar.

200.

Fortsetzung.

1. Ὁπόσ' ἐντὸς αὐτῶν καὶ χρήματα καὶ ἄνθρωποι ἦσαν, πάντα ἔσωσαν. 2. Ἤδη ἐν ὁρμῇ ὄντων αὐτῶν ἅμ' ἡλίῳ ἀνέχοντι ἀφικνεῖται Προκλῆς. 3. Βασιλεὺς νομίζει ὑμᾶς ἑαυτοῦ εἶναι, ἔχων ὑμᾶς ἐν μέσῃ τῇ ἑαυτοῦ χώρᾳ καὶ ποταμῶν ἐντὸς ἀδιαβάτων καὶ πλῆθος ἀνθρώπων ἄγων, ὅσον οὐδ' εἰ παρέχοιεν ὑμῖν ἀποκτεῖναι δυνατὸν ἂν εἴη. 4. Ἀριθμὸς τῆς ὁδοῦ τῆς ἐξ Ἐφέσου μέχρι τῆς μάχης σταθμοὶ ἦσαν τρεῖς καὶ ἐνενήκοντα. 5. Ἐπορεύοντο ἐν δεξιᾷ ἔχοντες τὸν ἥλιον, λογιζόμενοι ἥξειν ἅμα ἡλίῳ δύνοντι εἰς κώμας τῆς Βαβυλωνίας χώρας. 6. Ἅμα ὄρθρῳ Κλέαρχος τοὺς στρατιώτας ἐκέλευσεν ἐξοπλίζεσθαι.

1. Zugleich mit aufgehender Sonne schickte er Herolde in betreff eines Vertrages. 2. Die Hellenen und Ariäus lagerten mehr als zwanzig Tage nahe bei einander.

201.

Fortsetzung.

1. Οἱ Ἕλληνες ἐσκήνησαν ἐγγὺς παραδείσου μεγάλου. 2. Ἐν τῷ πρώτῳ σταθμῷ πέραν τοῦ ποταμοῦ πόλις ᾠκεῖτο μεγάλη καὶ εὐδαίμων ὄνομα Καιναί. 3. Φιλοπολέμου μοι δοκεῖ ἀνδρὸς εἶναι, εἴ τις, ἐξὸν εἰρήνην ἔχειν ἄνευ αἰσχύνης καὶ βλάβης, αἱρεῖται πολεμεῖν. 4. Οἱ στρατηγοὶ ἀνήχθησαν ὡς βασιλέα. 5. Οὐ τοῦ μισθοῦ ἕνεκα μόνον, ἀλλὰ καὶ τῆς χάριτος, ἣν ἔχομέν σοι δικαίως, ὑπηρετήσομέν σοι. 6. Ξενοφῶν ἔχων τῶν ὀπισθοφυλάκων τοὺς μὲν ἡμίσεις ἐπορεύετο ἧπερ οἱ τὸν ἡγεμόνα ἔχοντες· εὐοδωτάτη ἦν τοῖς ὑποζυγίοις· τοὺς δὲ ἡμίσεις ὄπισθεν τῶν ὑποζυγίων ἔταξε.

Universitäts- und
Landesbibliothek Düsseldorf

7. Ἅμα τῇ ἡμέρᾳ ὁρῶσιν ἱππέας πέραν τοῦ ποταμοῦ ἐξωπλισμένους ὡς κωλύσοντας διαβαίνειν, πεζοὺς δ' ἐπὶ ταῖς ὄχθαις παρατεταγμένους ἄνω τῶν ἱππέων ὡς κωλύσοντας εἰς τὴν Ἀρμενίαν ἐκβαίνειν.

1. Zwischen den Heeren war ein so grosser Zwischenraum (τοσοῦτον), dass am folgenden Tage die Feinde nicht sichtbar waren. 2. Man sagte, die Quellen des Euphrat seien nicht weit entfernt von dem Tigris. 3. Die Hellenen und die Barbaren lagerten während dieses Tages zwar nahe bei einander, aber ausser Schussweite (τὸ βέλος).

Universitäts- und
Landesbibliothek Düsseldorf